Eta Sigma Phi
Fifty-sixth Annual Greek Translation Contest (2005)
Intermediate (Koine)

To be written as an examination, under supervision, with a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest paper should be your pen name. Translate the passage below into clear, idiomatic English.

## REASON AND DESIRE: KING DAVID AND PHILISTINES

*[5] οὐ γὰρ ἐκρι-
ζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλὰ ἀνταγωνιστής. [6] ἔστιν γοῦν
τοῦτο διὰ τῆς Δαυεὶδ τοῦ βασιλέως δίψης σαφέστερον ἐπιλογίσασθαι.
[7] ἐπεὶ γὰρ δι᾽ ὅλης ἡμέρας προσβάλλων τοῖς ἀλλοφύλοις ὁ Δαυεὶδ πολ-
λοὺς αὐτῶν ἀπέκτεινεν μετὰ τῶν τοῦ ἔθνους στρατιωτῶν, [8] τότε δὴ
γενομένης ἑσπέρας, ἱδρῶν καὶ σφόδρα κεκμηκώς, ἐπὶ τὴν βασίλειον
σκηνὴν ἦλθεν, περὶ ἣν ὁ πᾶς τῶν προγόνων στρατὸς ἐστρατοπεδεύκει.
[9] οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν· [10] ὁ δὲ βασιλεὺς ὡς
μάλιστα διψῶν, καίπερ ἀφθόνους ἔχων πηγάς, οὐκ ἠδύνατο δι᾽ αὐ-
τῶν ἰάσασθαι τὴν δίψαν. [11] ἀλλά τις αὐτὸν ἀλόγιστος ἐπιθυμία
τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφρυγε, καὶ λύουσα
κατέφλεγεν. [12] ὅθεν τῶν ὑπερασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως ἐπι-
θυμίᾳ σχετλιαζόντων, δύο νεανίσκοι στρατιῶται καρτεροί, καταιδε-
σθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς πανοπλίας καθωπλίσαντο,
καὶ κάλπιν λαβόντες ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας· [13] καὶ
λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας, διεξῄεσαν εὑράμενοι κατὰ
πᾶν τὸ τῶν πολεμίων στρατόπεδον. [14] καὶ ἀνευράμενοι θαρραλέως
τὴν πηγήν, ἐξ αὐτῆς ἐγέμισαν τῷ βασιλεῖ τὸ ποτόν. [15] ὁ δὲ καὶ περὶ
τὴν δίψαν διαπυρούμενος, ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον τῇ
ψυχῇ λογισθὲν ἰσοδύναμον τὸ ποτὸν αἵματι. [16] ὅθεν ἀντιθεὶς τῇ
ἐπιθυμίᾳ τὸν λογισμόν, ἔσπεισεν τὸ πόμα τῷ θεῷ.*

5 ἐκριζωτής from ἐκριζόω, *destroyer*
6 δίψης from δίψη, *thirst*
7 ἀλλοφύλοις from ἀλλόφυλος, *Philistine*
8 ἱδρῶν from ἱδρόω, *sweat.* 8 κεκμηκώς from κάμνω, *be weary*
10 ἀφθόνους from ἄφθονος, *abundant*
11 ἐπιτείνουσα from ἐπιτείνω, *stretch over.* 11 συνέφρυγε from συμφρύγω, *parch*
12 ὑπερασπιστῶν from ὑπερασπιστής, *guard, champion*
12 σχετλιαζόντων from σχετλιάζω, *utter indignant complaints*
12 καταιδεσθέντες from καταιδέομαι, *respect*
12 καθωπλίσαντο from καθοπλίζω, *arm*
12 χάρακας from χάραξ, *palisade*
15 πάνδεινον from πάνδεινος, *very terrible.* 15 ἰσοδύναμον from ἰσοδύναμενος, *equivalent*
16 ἔσπεισεν from σπένδω, *pour libation*